# Thrasymachos

Fragmenta DK 85 B

<ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ>

**B 1** = Dionýsios Halikarn., De Demosthenis dictione 3; p. 132, 3 Radermacher-Usener
τρίτη λέξις ἦν ἡ μεικτή τε καὶ σύνθετος ἐκ τούτων τῶν δυεῖν (αὐστηρὰ καί λιτή)· ἣν ὁ μὲν πρῶτος ἁρμοσάμενος καὶ καταστήσας εἰς τὸν νῦν ὑπάρχοντα κόσμον, εἴτε Θρασύμαχος ὁ Καλχηδόνιος ἦν, ὡς οἴεται Θεόφραστος (π. λέξ. fr. 4 Schmidt), εἴτε ἄλλος τις, οὐκ ἔχω λέγειν. οἱ δ᾽ ἐκδεξάμενοι καὶ ἀναθρέψαντες καὶ οὐ πολὺ ἀποσχόντες τοῦ τελειῶσαι ῥητόρων μὲν ᾽Ισοκράτης ὁ ᾽Αθηναῖος ἐγένετο, φιλοσόφων δὲ Πλάτων ὁ Σωκρατικός· τούτων γὰρ ἀμήχανον εὑρεῖν τῶν ἀνδρῶν ἑτέρους τινὰς ἔξω Δημοσθένους ἢ τἀναγκαῖα καὶ χρήσιμα κρεῖττον ἀσκήσαντας ἢ τὴν καλλιλογίαν καὶ τὰς ἐπιθέτους κατασκευὰς βέλτιον ἀποδειξαμένους. ἡ μὲν οὖν Θρασυμάχου λέξις, εἰ δὴ πηγή τις ἦν ὄντως τῆς μεσότητος, αὐτὴν τὴν προαίρεσιν ἔοικεν ἔχειν σπουδῆς ἀξίαν· κέκραται γὰρ εὖ πως καὶ αὐτὸ τὸ χρήσιμον εἴληφεν ἑκατέρας. δυνάμει δ᾽ ὡς οὐκ ἴσηι <τῆι> βουλήσει κέχρηται, παράδειγμα ἐξ ἑνὸς τῶν δημηγορικῶν λόγων τόδε·
᾽ἐβουλόμην μέν, ὦ ᾽Αθηναῖοι, μετασχεῖν ἐκείνου τοῦ χρόνου τοῦ παλαιοῦ (καὶ τῶν πραγμάτων), ἡνίκα σιωπᾶν ἀπέχρη τοῖς νεωτέροισι, τῶν τε πραγμάτων οὐκ ἀναγκαζόντων ἀγορεύειν καὶ τῶν πρεσβυτέρων ὀρθῶς τὴν πόλιν ἐπιτροπευόντων· ἐπειδὴ δ᾽ εἰς τοσοῦτον ἡμᾶς ἀνέθετο χρόνον ὁ δαίμων, ὥστε <ἑτέρων μὲν ἀρχόντων> τῆς πόλεως ἀκούειν, τὰς δὲ συμφορὰς <πάσχειν> αὐτούς, καὶ τούτων τὰ μέγιστα μὴ, θεῶν ἔργα εἶναι μηδὲ τῆς τύχης, ἀλλὰ τῶν ἐπιμεληθέντων, ἀνάγκη δὴ λέγειν· ἢ γὰρ ἀναίσθητος ἢ καρτερώτατός ἐστιν, ὅστις ἐξαμαρτάνειν ἑαυτὸν ἔτι παρέξει τοῖς βουλομένοις καὶ τῆς ἑτέρων ἐπιβουλῆς τε καὶ κακίας αὐτὸς ὑποσχήσει τὰς αἰτίας. ἅλις γὰρ ἡμῖν ὁ παρελθὼν χρόνος καὶ ἀντὶ μὲν εἰρήνης ἐν πολέμωι γενέσθαι καὶ διὰ κινδύνων <ἐλθεῖν> εἰς τόνδε τὸν χρόνον, τὴν μὲν παρελθοῦσαν ἡμέραν ἀγαπῶσι, τὴν δ᾽ ἐπιοῦσαν δεδιόσι, ἀντὶ δ᾽ ὁμονοίας εἰς ἔχθραν καὶ ταραχὰς πρὸς ἀλλήλους ἀφικέσθαι. καὶ τοὺς μὲν ἄλλους τὸ πλῆθος τῶν ἀγαθῶν ὑβρίζειν τε ποιεῖ καὶ στασιάζειν, ἡμεῖς δὲ μετὰ μὲν τῶν ἀγαθῶν ἐσωφρονοῦμεν, ἐν δὲ τοῖς κακοῖς ἐμάνημεν, ἃ τοὺς ἄλλους σωφρονίζειν εἴωθεν. τί δῆτα μέλλοι τις ἂν <ἃ> γιγνώσκει εἰπεῖν, ὅτωι γε <γέγονε> λυπεῖσθαι ἐπὶ τοῖς παροῦσι καὶ νομίζειν ἔχειν τι τοιοῦτον, ὡς μηδὲν ἔτι τοιοῦτον ἔσται; πρῶτον μὲν οὖν τοὺς διαφερομένους πρὸς ἀλλήλους καὶ τῶν ῥητόρων καὶ τῶν ἄλλων ἀποδείξω γ᾽ ἐν τῶι λέγειν πεπονθότας πρὸς ἀλλήλους,

ὅπερ ἀνάγκη τοὺς ἄνευ γνώμης φιλονικοῦντας πάσχειν· οἰόμενοι γὰρ ἐναντία λέγειν ἀλλήλοις, οὐκ αἰσθάνονται τὰ αὐτὰ πράττοντες οὐδὲ τὸν τῶν ἑτέρων λόγον ἐν τῶι σφετέρωι λόγωι ἐνόντα. σκέψασθε γὰρ ἐξ ἀρχῆς, ἃ ζητοῦσιν ἑκάτεροι. πρῶτον μὲν ἡ πάτριος πολιτεία ταραχὴν αὐτοῖς παρέχει ῥάιστη γνωσθῆναι καὶ κοινοτάτη τοῖς
πολίταις οὖσα πᾶσιν. ὁπόσα μὲν οὖν ἐπέκεινα τῆς ἡμετέρας γνώμης ἐστίν, ἀκούειν ἀνάγκη λόγων τῶν παλαιοτέρων, ὁπόσα δ᾽ αὐτοὶ ἐπεῖδον οἱ πρεσβύτεροι, ταῦτα δὲ
παρὰ τῶν εἰδότων πυνθάνεσθαι ...᾽
τοιαύτη μὲν οὖν τις ἡ Θρασυμάχειος ἑρμηνεία, μέση τοῖν δυεῖν καὶ εὔκρατος καὶ εἰς ἀμφοτέρους τοὺς χαρακτῆρας ἐπίκαιρον ἀφετήριον.

ΥΠΕΡ ΛΑΡΙΣΑΙΩΝ

**B 2** = Kléméns Alex., Stromata VI, 16
καὶ μὴν ἐν Τηλέφωι εἰπόντος Εὐριπίδου ᾽῞Ελληνες ὄντες βαρβάροις δουλεύσομεν;᾽ (fr. 719 N. 2) Θρασύμαχος ἐν τῶι ὑπὲρ Λαρισαίων λέγει·
᾽᾽Αρχελάωι δουλεύσομεν ῞Ελληνες ὄντες βαρβάρωι;᾽

ΜΕΓΑΛΗ ΤΕΧΝΗ

**B 3** = Schol. Aristof. Av. 880
τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχος φησιν ἐν τῆι Μεγάλῃι τέχνηι.

**B 4** = Athénaios, Deipnosophistae X, 416a (X, 9 Kaibel)
Θρασύμαχος δ᾽ ὁ Χαλκηδόνιος ἔν τινι τῶν προοιμίων τὸν Τιμοκρέοντά φησιν ὡς μέγαν βασιλέα ἀφικόμενον καὶ ξενιζόμενον παρ᾽ αὐτῶι πολλὰ ἐμφορεῖσθαι. πυθομένου δὲ τοῦ βασιλέως ὅ τι ἀπὸ τούτων ἐργάζοιτο εἶπε Περσῶν ἀναριθμήτους συγκόψειν. καὶ τῆι ὑστεραίαι πολλοὺς καθ᾽ ἕνα νικήσας μετὰ τοῦτο ἐχειρονόμησε. πυνθανομένου δὲ τὴν πρόφασιν ὑπολείπεσθαι ἔφη τοσαύτας, εἰ προσίοι τις, πληγάς.

**B 5** = Aristotelés, Rhetorica III, 1; p. 1404a 13
ἐγκεχειρήκασιν δὲ ἐπ᾽ ὀλίγον περὶ αὐτῆς (τῆς ὑποκριτικῆς) εἰπεῖν τινες, οἷον Θρασύμαχος ἐν τοῖς ᾽Ελέοις.

**B 6** /1 = Platón, Phaedrus 267c
τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνηι μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος. ὀργίσαι τε αὖ πολλοὺς ἅμα

δεινὸς ἀνὴρ γέγονε καὶ πάλιν ὠργισμένοις ἐπάιδων κηλεῖν, ὥς ἔφη· διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὅθεν δὴ κράτιστος.

**B 6** /2 = Hermiás, In Platonis Phaedrum scholia p. 239, 18 Couvreur
ὁ γὰρ Χαλκηδόνιος, τουτέστιν ὁ Θρασύμαχος, ταῦτα ἐδίδαξεν, ὡς δεῖ εἰς οἶκτον ἐγεῖραι τὸν δικαστὴν καὶ ἐπισπᾶσθαι ἔλεον, γῆρας, πενίαν, τέκνα ἀποδυρόμενον καὶ τὰ ὅμοια.

**B 6a** = Platón, Respublica 338c
φημὶ .. ἐγὼ εἶναι τὸ δίκαιον οὐκ ἄλλο τι ἢ τὸ τοῦ κρείττονος ξυμφέρον.

**B 7** = Plútarchos, Quaest. conv. I, 2, 3 p. 616d
δεῖ καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικὴν τοὺς ᾿Αριστοτέλους Τόπους (III, 1 n.) ἢ τοὺς Θρασυμάχου ῾Υπερβάλλοντας ἔχειν προχείρους οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα.

**B 7a** = Filodémos, Rhet. II, 49 (Suppl. ed. Sudhaus Lps. 1895 p. 42n.)
καὶ Μητρόδωρος (fr. 20n. A. Körte Jahrb. f. clas. Phil. Suppl. 17/1880 548) δὲ ἐν τῶι πρώτωι Περὶ ποιημάτων ἱκανῶς ἔοικεν παρεμφαίνειν τὸ τὴν σοφιστικὴν ῥητορικὴν τέχνην ὑπάρχειν ... εἰπ<εῖν> μὲν ἐ<ν π>λήθει πε<ρὶ τ>ῶν πλήθ<ει> χρησίμων ἱκαν<όν, τ>ὴν δὲ Θρασυμάχου τέ>χνην ἢ ἄ<λλου> ὁτο<υδήποτ᾿> αὐτῶν οὐ μ<αθό>ντας ... Θρασύμαχον καὶ ἄλλους οὐκ ὀλίγους τῶν δοκούντων τὰς τοιαύτας ἔχειν λόγων πολιτικῶν ἢ ῥητορικῶν οὐθ<έν, ὧ>ν φ<α>σιν ἔχειν τὰς τέχνας, συντελοῦντας.

**B 8** = Hermiás, In Platonis Phaedrum scholia p. 239, 21 Couvr. (in 267c, cfr. B 6)
ἔγραψεν (Θρασύμαχος) ἐν λόγωι ἑαυτοῦ τοιοῦτόν τι, ὅτι οἱ θεοὶ οὐχ ὁρῶσι τὰ ἀνθρώπινα· οὐ γὰρ ἂν τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν παρεῖδον τὴν δικαιοσύνην· ὁρῶμεν γὰρ τοὺς ἀνθρώπους ταύτηι μὴ χρωμένους.